# TEZAUR LITURGIC

## 7 FEBRUARIE

# CANOANELE SF.CUVIOS LUCA DE LA STIRION [01-05]

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 01
# Κανὼν παρακλητικὸς εἰς τὸν Ἅγιον Λουκᾶν

οὗ ἡ ἀκροστιχίς: *Μέλπω γεραίρων τὸν νέον Λουκᾶν Πέτρος.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.*

Μονάσας καὶ τὸν Σταυρὸν ἐπ᾽ ὤμων σου, ἀναλαβόμενος ἀσκητικήν, Λουκᾶ θαυματουργέ, πολιτείαν ἐδίωξας, ἐν ᾗ Θεὸς μὲν ηὔφρανας, τὸν δὲ ἐχθρόν, Πάτερ κατῄσχυνας.

Ἐν πόνοις μὲν τὴν στενὴν διώδευσας, καὶ τεθλιμμένην ὁδόν, τὰς τῆς σαρκὸς ὁρμὰς ὡς ἀληθῶς, ἐγκρατείας φιμώσας κημω, τοῦ παραδείσου πλάτος δέ, χαίρων κατείληφας μακάριε.

Λουτὴρ σοι Λουκᾶ πανάριστε, οἱ τῶν δακρύων κρουνοί, οἷς καθ᾽ ἑκάστην νύκτα ὡς Δαβίδ, τὴν στρωμνήν σου κατέβρεχες, ὅθεν σοι καὶ ἀνέτειλεν ἡ εὐφροσύνη ἡ ἀΐδιος.

*Θεοτοκίον.*

Παγίδες ὡς ἀληθῶς θανάτου με Κόρη προέφθασαν, ἀλλὰ τῇ ἀμάχῳ δεξιᾷ, προφανῶς συνετρίβησαν, ὅθεν ὑμνῶ σωζόμενος, θεομακάριστε, τὴν σκέπην σου.

*Ωδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.*

Ὡς ῥύστην σε τῶν δεινῶν, καὶ ὥσπερ τεῖχος ἀῤῥαγὲς ἔχουσα, χαίρει Ἑλλὰς ἑκάστοτε, τοῖς σοῖς ἐντρυφῶσα χαρίσμασι.

Γενναίως ὑπενεγκών, τὸν τῆς σαρκὸς ὀδυνηρὸν σκόλοπα, εὗρες γλυκεῖαν Ὅσιε, τῆς ὑπομονῆς τὴν ἀντίδοσιν.

Εὐφραίνονται ἐπὶ σί, μνήμην τὴν σὴν περιχαρῶς σήμερον, τὸ ἱερόν σου ποίμνιον, δῆμος καὶ λαὸς ἑορτάζοντες.

*Θεοτοκίον.*

Ῥυόμενός με φθορᾶς, ἐκ Σοῦ προῆλθε σαρκωθείς, Πάναγνε, μείνας ὅ ἦν Ὕψιστος, ὅθεν Θεομῆτορ δοξάζω σε.

*ᾨδὴ δ΄. Ἐπαρθέντα σὲ ἰδοῦσα.*

Ἁγιότητος δοχεῖον τοῦ Παρακλήτου Πάτερ, σεαυτὸν ἐτέλεσας, τῶν ἀπαυγασματων τῆς ἀρχικωτάτης Λουκᾶ Τριάδος πληρούμενος καὶ θεοειδὴς γνωριζόμενος.

Ἰσχυρότατος ἐγένου κατὰ δαιμόνων τόξα καὶ βέλη πανέντιμε, τὰ ἠκονημένα τούτων, ἐν Κυρίῳ συνθλῶν, καὶ χαίρων ἐκραύγαζες· Δόξα τῇ δυνάμει σου Κύριε.

Ῥυθμιζόμενος τὸν βίον τοῖς τοῦ Δεσπότου, σωστικωτάτοις ῥήμασιν, ἦρας θεοφρόνως τούτου τὸν ζυγὸν ἐπὶ σέ, διὸ καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου μακάριε.

*Θεοτοκίον.*

Ὡς μακάριος ὁ τρόπος τῆς σῆς λοχείας, Θεοκυῆτορ Δέσποινα, δι' οὗ μακαρίους πάντας ἀπετέλεσας, Θεὸν τὸν μακάριον τέξασα σαρκί, Παναμώμητε.

*ᾨδὴ ε΄. Σύ, Κύριέ μου φῶς.*

Νῦν πρόσωπον ὁρᾷς, ὅν ἐπόθεις πρὸς πρόσωπον, λυθέντων σοι τῶν ἐσόπτρων ἀληθείας ἐκβάσει, Λουκᾶ θεομακάριστε.

Τίς, τίμιε, τὸ σὸν ἐπικέκληται ὄνομα καὶ ῥύστην, οὐ παραυτίκα καὶ προστάτην σε ἔσχε, προφθάνοντα τὴν αἴτησιν.

Ὄντως ἐν ἀγαθοῖς ἡ ψυχή σου ηὐλίσθη Λουκᾶ, οἷς αἴτησαι δυσωποῦμεν καὶ ἡμᾶς αὐλισθῆναι, τοὺς πίστει εὐφημοῦντάς σε.

*Θεοτοκίον.*

Νὺξ ὥσπερ φωτισμός, ἐν τρυφῇ μοι θεόνυμφε, ἀλλ' αὔγασον ἀληθῶς μοι, κατανύξεως αἴγλην, τὸ σκότος μοι φωτίζουσα.

*ᾨδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.*

Ναόν σε θαυματουργὸν ἐξαίσιον ἔδειξεν, ἡ ἀρετή σου τρισμάκαρ, τοῦ Θεοῦ σε μᾶλλον πολυπλασίως λαμπρότερον, οἷς ἐδόξασας τοῦτον δοξάσαντος.

Ἔλαφος ἡ ποτέ σου, τοὺς πόνους ὑβρίσασα, τὸ συμπαθές σου κηρύττει θηρατῶν ῥυσθεῖσα διὰ σέ, Πάτερ, καὶ οἱ δύο ἐμφωλεύσαντες ὄφεις τῇ κέλλῃ σου.

Ὅλην σου τὴν ζωήν, τῷ Θεῷ καθιέρωσας ἐν προσευχαῖς καὶ νηστείαις, τὴν καταργουμένην

ἐκθλίβων, ὅθεν οὓς ὄφεις ἧς ἐν ὀμφαλῷ συνέχων ἡττήθησαν.

*Θεοτοκίον.*

Νέκρωσον τὰ νεκροῦντά με πάθη τοῖς πταίσμασι, Θεοτόκε Παρθένε, καὶ πρὸς φῶς ὁδήγησον προσταγμάτων τοῦ Υἱοῦ σου καὶ Θεοῦ, Παναμώμητε Δέσποινα.

*Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ ἀβραμιαῖοι.*

Λύμην θανάτου, ἥν εὐθὺς ὁ τοξεύων ἐπήγειρεν, ὅπλοις ἀπεκρούσω Πάτερ, σῶν προσευχῶν, τοῦ Ἀγγέλου ἐν ἐγκάτοις σου καθέντος, ἄγκιστρον καὶ τὸ σαρκῶδες μέλος ἑλκύσαντος.

Ὄμβροις δακρύων τὴν τῶν παθῶν κατασβέσας κάμινον, ὕπνῳ βραχυτάτῳ Πάτερ, τὴν φυσικὴν ἐκπληρῶν, χρείαν ἑκάστοτε, καὶ τὰς αἰσθήσεις σου τῇ νεκρώσει πικραίνων τοῦ σώματος.

Υἱὸς ἡμέρας καὶ φωτὸς ἀνεδείχθης, θεσπέσιε, βλέπων ὡς παρὸν τὸ μέλλον, καὶ προδηλῶν ἀγνοοῦντι λανθάνοντα, λύων κρατούμενα καὶ φανερῶν ἀεὶ τὰ κρυπτόμενα.

*Θεοτοκίον.*

Κάμπτει με νόσος, καὶ κατατρυχούσα ταῖς πλημμελείαις μου, δός μοι βοηθείας χεῖρα ὡς ἀγαθή, καὶ ἀνάστησόν με κράζοντα· Εὐλογημένη σὺ ἐν γυναιξί, πανάμωμε Δέσποινα.

*ᾨδὴ η΄. Χεῖρας ἐκπετάσας.*

Ἀγάλλονται παῖδες Θετταλῶν ἐπὶ τῇ μνήμῃ σου, χαίρει δὲ πλέον Ἑλλὰς, καὶ ἡ τοῦ Πέλοπος γάνυται, καὶ Φωκὶς καὶ Παρνασσός, προσεχῶς κατατρυφῶντες ἀληθῶς τῶν θαυμασίων σου, καὶ βοῶντες· Πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Νῦττεται Δημήτριος Λουκᾶ, τὸν μείζω κρύψαι ἰχθὺν διελεγχόμενος, ἀνακηρύττει δὲ πάλιν σου τὰ θαύματα, τῶν ἐργων σαφῶς ὁ τὸ κλαπὲν ἀπολαβὼν χρυσίον, ἀεὶ εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Πηγάζει ἡδύπνοον ὀσμήν, ἡ τῶν λειψάνων σου σορός, πανόλβιε, τοῖς προσπελάζουσι βλύζουσα, ὥσπερ νάματα ἰάματα, ἁγιασμὸν καὶ φωτισμόν, καὶ ἀγαλλίασιν τοῖς βοῶσι· Πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

*Θεοτοκίον.*

Ἐπίφανον τὸ πρόσωπον τὸ σόν, ἐπὶ τοὺς δούλους σου, καὶ σωθησόμεθα. Καταισχυνθείησαν Ἄχραντε, οἱ βουλόμενοι κακὰ τοῖς τὴν σεπτὴν πεπλουτηκόσιν ἀσφαλῆ σὴν θείαν ἀντίληψιν, καὶ τιμῶσί σε Θεομῆτορ, καρδίᾳ καὶ στόματι.

*ᾨδὴ θ΄. Λίθος ἀχειρότμητος.*

Τίς τοὺς σοὺς ἀγῶνας ἀξίως, καὶ τοὺς καμάτους ἐπαινέσει δι’ ὧν τὸν ἀρχέκακον ὄφιν ἔκτεινας Πάτερ; Τίς καὶ τὰ θαύματα ἐξαριθμεῖν δυνήσεται, τὰ ὑπὲρ λόγον καὶ διάνοιαν;

Ῥήξας τοὺς δεσμοὺς τῆς σαρκός σου, γῆθεν ἀνέδραμες ἐν δόξῃ πρὸς φαεινοτάτους θαλάμους, πρὸς Παραδείσου πλάτος, μακάριε, ἔνθα τρυφᾷς λαβόμενος τῆς οὐρανίου ἀπολαύσεως.

Ὄντος εὐφροσύνης προσθήκη, εὐφραινομένων κατοικία μάκαρ, σὲ ἐδέξατο, ἔνθα τῶν σὲ ὑμνούντων πάντων μνημόνευε, τῷ τὴν ᾠδήν σοι πλέξαντι, κατὰ παθῶν ἰσχὺν δωρούμενος.

*Θεοτοκίον.*

Στῆσον Θεοτόκε Παρθένε, τῶν πειρασμῶν τὰς καταιγίδας, παῦσον καὶ τὰ σκάνδαλα πάντα, τὰ θράση θραῦσον τῶν πολεμούντων ἡμᾶς, τὰς σκυθικὰς χαλίνωσον ἐπιδρομὰς ταῖς προστασίαις σου.

# 02
# Κανὼν παρακλητικὸς εἰς τὸν Ἅγιον Λουκᾶν

*ᾨδὴ α΄. Ἦχος δ΄. Τῷ ὁδηγήσαντι πάλαι.*

Τῇ ἀπροσίτῳ Τριάδι παρεστηκώς, Ὅσιε, καὶ ταῖς ἐκεῖθεν ἀσταπαῖς ὡς ἐφικτὸν ἐλλαμπόμενος Λουκᾶ, τὸν νοῦν μου καταύγασον, ὅπως σοῦ τὴν ἱερὰν καὶ φωταυγῆ μέλψω πανήγυριν.

Ἡγιασμένης ἐκ ῥίζης ἀναφυεὶς Ἅγιος ὅρπηξ, καὶ κλάδος εὐθαλὴς ἀπὸ σπαργάνων τῷ Κτίστῃ σου

σαυτὸν προσῇξας καὶ γέγονας εὐχάριστος αὐτῷ θεράπων καὶ πιστός, Λουκᾶ μακάριε.

Φωνῆς ἀκούσας τῆς θείας ξένον σαυτὸν ἔδειξας, τῆς προσπαθείας τῶν ῥευστῶν πρὸς μόνον βλέπειν ἑκάστοτε Λουκᾶ, καταπειγόμενος τὰ μένοντα καὶ δι᾽ αἰῶνος, ὧν καὶ νῦν ἀπολαυεις ἀοίδιμε.

*Θεοτοκίον.*

Ἐκ σοῦ Θεὸς ἀποῤῥήτως, σωματωθεὶς εἵλκυσε πρὸς ἑαυτὸν ὡς ἀγαθός, τὰ τῶν Ὁσίων συστήματα, μεθ᾽ ὧν Λουκᾶς εὐηρέστησεν Ἄχραντε, οὗ ταῖς πρεσβείαις καὶ ἡμᾶς σῶσον ἐλέησον.

*ᾨδὴ γ΄. Ὁ στερεῶν βροντήν.*

Ὡς ζηλωτὴς τῶν πάλαι θεοφόρων ἐμάκρυνας, ἐν ὄρεσι καὶ ἐρημίαις, Λουκᾶ σοφέ, προσευχαῖς τε καὶ νηστείαις, σχολάζων καὶ τὸν Κύριον ζητῶν, οὗ καὶ ἔτυχες.

Σὺ βιαστὴς ἐγένου Πάτερ ὄντως, τῆς φύσεως ἐν πόνῳ μέν, διημερεύων σωματικῷ, καὶ ἐν νόμῳ νυκτερεύων ἐνδελεχῶς τοῦ Κτίστου σου Λουκᾶ πανσεβάσμιε.

Φωτιστικαῖς τοῦ πνεύματος ἀκτῖσιν ἀπήστραψας ὡς ἥλιος, καὶ καταυγάζεις τοὺς ἐν νυκτί, τῶν ποικίλων νοσημάτων, συνεχομένους Ἅγιε. Διὸ σὲ γεραίρομεν.

*Θεοτοκίον.*

Ὑπὲρ ἡμῶν ἱλέωσαι Παρθένε, τὸν σὸν Υἱὸν καὶ Κύριον, ἵνα κινδύνων καὶ πειρασμῶν τῶν ἐν βίῳ καὶ

σκανδάλων, τῆς ἁμαρτίας ἅπαντες ῥυσθῶμεν πρεσβείαις σου.

*ᾨδὴ δ΄. Εἰσακήκοα ὁ Θεός.*

Οἱ ἀγῶνες ὡς θαυμαστοὶ τῆς σῆς ἀνδρείας, δι᾽ ὧν δαιμόνων καὶ παθῶν κατεκυρίευσας Λουκᾶ παναοίδιμε, καὶ τὸ τῆς νίκης στέφος ἐδέξω σαφῶς.

Ῥωμαλέᾳ γνώμῃ σοφέ, τὴν στενωτάτην ὥδευσας τρίβον, πρὸς εὐρύχωρον κατήντησας πλάτος ἀναπαύσεως, τῆς οὐρανίου δόξης Χριστοῦ τοῦ Θεοῦ.

Ὡς δοξάσας ἐπὶ τῆς γῆς Χριστόν, ἀξίως ἀντεδοξάσθης πρὸς Αὐτόν, θεομακάριστε Λουκᾶ, καὶ γεγένησαι παντοδαπῶν χαρίτων πηγὴ τοῖς πιστοῖς.

Γρηγορήσας ἐν φυλακῇ θεσμὸν τὸν θεῖον καθυπεδέξω, προσελθόντα σοι τὸν Κύριον, ὅθεν μοι καὶ ἀνεκλήθης Πάτερ εἰς θείας σκηνάς.

*Θεοτοκίον.*

Θεοχώρητος οὐρανὸς σαφῶς ἐδείχθης. Τὸν γὰρ ἐν τούτῳ μὴ χωρούμενον, ἐχώρησας ὑπὲρ νοῦν πανάχραντε, ὅν ἐκδυσώπει σῶσαι κινδύνων ἡμᾶς.

*ᾨδὴ στ΄. Ζάλη μὲ λογισμῶν.*

Θάλασσαν τὴν τοῦ βίου διαπλεύσας, ἀβρόχως κατήντησας ἐν ἀκυμάντῳ λιμένι, τῆς ἁγίας καὶ ὄντως θαυμαστῆς σκηνῆς, ἐν ᾗπερ ἦχος ἑορταζόντων καθ᾽ ἑκάστην.

Ἄλλον σὲ Σαμουὴλ ἴσμεν ὦ Πάτερ, τὰ ἔμπροσθεν βλέποντα, καὶ τὰ ἐγγὺς καὶ τὰ πόῤῥω καὶ εἰς βάθος

χωροῦντα, καρδιῶν καὶ μετὰ παῤῥησίας τὰ ἐν αὐταῖς ἐκκαλύπτοντα.

Σκήνωμα τοῦ ἐνθέου χρηματίσας φωτός, ἀξιάγαστε, τοῖς πᾶσιν ἀντανακλάσεις ἀμυδρῶς ἐχορήγεις μέν, τὸ πρὶν καὶ νῦν δὲ πολλῷ πλέον ἀπολυθεὶς ἐκ τοῦ σώματος.

*Θεοτοκίον.*

Μόνην σε καθαρὰν ὁ ἐν ὑψίστοις οἰκῶν θεασάμενος, ἐν σοὶ κατῴκησε, σῶσαι τὸ ἀνθρώπινον γένος βουληθείς, ὅν καὶ νῦν, ἐκδυσώπει ὑπὲρ ἡμῶν ἀειπάρθενε.

*ᾨδὴ ζ΄. Τῇ εἰκόνι τῇ χρυσῇ.*

Ὑπερβλύζει δαψιλῶς, ἡ τῶν λειψάνων σου θήκην μύρον εὐῶδες Λουκᾶ θεσπέσιε, δι᾽ οὗ τὰ πάθη τῶν ἀσθενούντων ἐξιᾶσαι συμπαθῶς, καὶ ἐκδιδάσκεις ἀνυμνεῖν ἀπαύστως τὸν αἴτιον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Μαρτυρικῶν ὡς ἀληθῶς οὐκ ἀπελείφθης καμάτων, πρὸς ἀοράτους καὶ τοὺς ὁσημέραι πυκτεύων Πάτερ, δεινοὺς τυράννους οὕς ἥττησας κραταιῶς μετὰ Μαρτύρων Χριστῷ ὡς Μάρτυς παρίστασαι, τὰς ὑπὲρ πάντων ἡμῶν αὐτῷ προσφέρων λιτάς.

Νενεκρωμένον ἡδοναῖς, καὶ ἀπογνώσεων κλίνῃ νῦν βεβλημένον προφθάσας ζώωσον, ζωῆς θεράπων ὡς χρηματίσας καὶ κληρονόμος ἀληθῶς αἰωνίου, δυσωπῶ τὸν δοῦλόν σου κράζοντα· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ἰατῆρα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἀνθρώποις, ὡς μόνος εἶδεν αὐτὸς κυήσασα, καὶ ἄμφω νῦν με νοσοῦντα λίαν, ἐπισκέψεως τῆς σῆς καταξιώσασα σεμνή, θεράπευσον βοῶντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*ᾨδὴ η΄. Ἐξέστη τὰ σύμπαντα.*

Ἡλίου λαμπρότερον ἡμῖν ἐπέλαμψεν ἡ θεία, αὕτη νῦν πανήγυρις πιστοὺς συγκαλουμένη ὑψηλῷ κηρύγματι πανηγυρίσαι προθύμως. Μηδεῖς οὖν ὑστερείτω, καὶ γὰρ τράπεζαν ψυχοτρόφον, ὁ μέγας ἐν ταύτῃ Λουκᾶς ἡτοιμάσατο.

Μακάριος γέγονας Ὅσιε Πάτερ, ὡς ποθήσας ἁπάντων τὸ ἔσχατον τῶν ὀρεκτῶν, καὶ ὄντως μακάριον, ὅπερ νῦν καταλαβὼν μὴ ἐλλίποις, ἐξαιτεῖν τῶν ἐν πίστει τὴν ἐτήσιον ἑορτήν σου, καὶ θείαν τελούντων πταισμάτων ἄφεσιν.

Μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν πίστει τιμώντων, τοῦ διαφυλάττεσθαι κινδύνων ἐκ παντοίων Λουκᾶ παναοίδιμε, καὶ εὐαρέστως βιοῦν πρὸ τῆς μελλούσης τοῦ Κτίστου σου ἐπελεύσεως σωτηρίαν εὑρέσθαι, ὑμνοῦντας τὸν σὲ θαυμαστώσαντα.

*Θεοτοκίον.*

Οἰκτείρησον Δέσποινα, πεφαυλισμένος με βιοῦντα καὶ τῇ ἀντιλήψει σου μετάβαλε, καὶ ὅλον σπουδαῖον ἀπέργασαι διὰ παντός, εὐοδοῦσα πρὸς οὐράνιον

τρίβον ἀναμέλποντα· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

*ᾨδὴ θ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα.*

Ἄγε δὴ τοῦ Ὁσίου συνελθόντες πάντες λαοί, τὴν εὔσημον ἡμέραν τῆς σεπτῆς ἐκδημίας πρὸς Θεὸν μετ' εὐφροσύνης καὶ χαρᾶς ἐπιτελέσωμεν.

Κροτοῦντά με τὴν θείαν ἐκ καρδίας σου χαρμονήν, προσδέχου καὶ δεινῶν ἀπαλλαγήν, καὶ πταισμάτων ἱλασμὸν κλέος, Λουκᾶ, τῶν μοναστῶν, νῦν μοι κατάπεμψον.

Ῥώμην λαβὼν ἐξ ὕψους ἰατρεύειν πάθη δεινά, μὴ παύσῃ ταῖς ἑκάστου συμφοραῖς, ὡς Κυρίου μιμητὴς ἐπικαπτόμενος Λουκᾶ, καὶ τὰς αἰτήσεις πληρῶν.

*Θεοτοκίον.*

Ὑπὸ τὴν σὴν πρεσβείαν, καταφεύγοντά με θερμῶς, ἀσβέστου ἀπολύτρωσαι πυρός, καὶ μερίδος δεξιᾶς μέτοχον δεῖξον ἀγαθή, ταῖς ἱκεσίαις σου.

# 03
# Κανὼν παρακλητικὸς εἰς τὸν Ἅγιον Λουκᾶν

*ᾨδὴ α΄.Ἦχος πλ.β΄.Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι.*

Ἄνθος ῥίζης εὐκλεοῦς ἀναβλαστήσας ἡγιασμένον, δένδρον εὐθαλές, καὶ κατάκαρπον, σαφῶς ἀνεδείχθης ἐν τῷ οἴκῳ τοῦ Θεοῦ Λουκᾶ θεομακάριστε.

Ἱερεῖον ὡς ἁγνὸν ἀπὸ σπαργάνων σαυτὸν προσῆξας τῷ ἀρχιερεῖ, καὶ Δεσπότῃ Χριστῷ νηστείαις σχολάζων καὶ εὐχαῖς διὰ παντός, Λουκᾶ μακαριώτατε.

Σὺ καθυπείκων νόμοις ἄνωθεν Χριστοῦ, ἀπεβδελύξω παίδων ἀθυρμούς, καὶ σαρκὸς ἡδονὰς γονέων τε φίλτρον. Διὸ δόξης τῆς Αὐτοῦ, Λουκᾶ νῦν κατηξίωσαι.

*Θεοτοκίον.*

Ἐξελοῦμε τῶν παθῶν ἡ ἀπαθείας αἴτιον, μόνη τέξασα υἱὸν ἀπαθῶς, καὶ ἁγνῶς καὶ δεῖξον μερίδος, τῶν Ὁσίων δυσωπῶ ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

*ᾨδὴ γ΄. Στερέωσον Κύριε.*

Ὁ τοῦ Θεοῦ πόθος σε προσαναφλέξας ἑπταπλασίως, ὀρεσίτροφον εἰργάσατο καὶ τῶν κάτω Πάτερ, μετανάστην θεόληπτε.

Νεοφανὴς ὥσπερ ἀστὴρ τις ἐκλάμψας ἐσχάτοις χρόνοις, τὴν ἑσπέραν κατεφώτισας ταῖς ἀκτῖσι, Πάτερ τῶν ποικίλων θαυμάτων σου.

Φωτιστικαῖς λάμψεσι τῶν πρεσβειῶν σου, καταύγασόν μου τὴν τυφλώττουσαν διάνοιαν θεοφόρε, ὅπως ἐπαξίως ὑμνήσω σε.

*Θεοτοκίον.*

Ὑπὸ τὴν σήν, Ἄχραντε προσφεύγω σκέπην ἐλέησόν με, καὶ στερέωσον κλονούμενον ἁμαρτίαις, καὶ τοῖς σωζομένοις με σύνταξον.

*ᾨδὴ δ΄. Ἀκήκοα Κύριε.*

Ἐμάκρυνας Ὅσιε, ὄρεσι καὶ ἐν ἐρήμοις ηὐλίσθης Πάτερ, προσδεχόμενος τὸν σώζοντα καταιγίδος, καὶ παρακαλοῦντά σε Κύριον.

Ῥημάτων σὺ γέγονας τῶν θείων ὄντως ἀκριβὴς φύλαξ. Τὸν Σταυρὸν γὰρ ὠμωσάμενος ὄπισθεν Πάτερ ἔβης τοῦ καλέσαντος Ὅσιε.

Ὡς λίαν σὺ πέφυκας οἰκτίρμων, πρᾶος καὶ μετριόφρων. Πρὸς Χριστοῦ γὰρ μεμαθήτευσαι. Διὸ εὗρες μάκαρ, ἐν ψυχῇ τὴν ἀνάπαυσιν.

*Θεοτοκίον.*

Θεόν, ἁγνή, δίδου μοι ταῖς σαῖς πρεσβείαις ἵλεων, ὅταν μετὰ δόξης ἐπελεύσεται, καὶ Ὁσίων δεῖξον, κοινωνὸν τῆς χορείας με.

*ᾨδὴ ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντα.*

Σκοτία μὲν ἔψευσται, διώξασα μάτην σε, φθάσαι γὰρ οὐ δεδύνηται τὸ φῶς τῶν σῶν κατορθωμάτων, τὸ ἔλεος δὲ Θεοῦ κατέλαβεν ἀξίως.

Ὄρος κατανύξεως ὁ βίος σου, τύπος τε πέφυκεν ἀκτησίας ἐν Χριστῷ, καὶ γνώμων ἡσυχίας καὶ συμπαθείας κανών, Λουκᾶ τοῖς μονοτρόποις.

Ἰδών σου τὴν ἄφατον ἁπλότητα, πλείστοις σε Κύριος κατεκόσμησε σοφέ, χαρίσμασιν ἐνθέοις, τὰ πόῤῥωθεν προορᾶν, καὶ νόσους ἐξιᾶσθαι.

*Θεοτοκίον.*

Ὑπερτέραν πάσης σὲ τῆς κτίσεως Δέσποινα, δέδειχεν, ὁ ἀῤῥήτως ἐκ τῆς σῆς ἀποτεχθεῖς νηδύος, καὶ μοναστῶν διὰ σοῦ προσήκατο τὰ πλήθη.

*Ὠδὴ στ΄. Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη.*

Ποῖος φράσει νοῦς τὰς ἀριστείας ὄντως κατ' ἀξίαν τὰς σάς, τὰς παννυχίους στάσεις, τὴν ἐγκράτειαν καὶ χαμευνίαν, τοὺς μεθ' ἡμέραν κόπους καὶ ἱδρῶτάς σου; οὕς ἐν σώματι παμμάκαρ ἔτλης, διὰ Χριστὸν τὸν Θεόν, οὗ καὶ νῦν ἐντρυφῶν μέμνησο Λουκᾶ, τῶν γεραιρόντων σε.

Αἶνον ᾄδει πᾶς τις ἀπολαύσας σου τῆς ἰσαγγέλου μορφῆς, ὁ μὲν ὡς ἰατῆρα συμπεσόντος ἀνιάτου πάθους, ὁ δὲ τροφέα, καὶ ὡς προστάτην ἕτερος, ὡς διδάσκαλον δὲ πάλιν ἄλλος, καὶ ἀψευδέστατόν σε προγνώστην εἰδὼς τῶν προγεγονότων καὶ μελλόντων τε.

Τὰς ἀρχάς τε καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας, Σταυροῦ τῇ πανοπλίᾳ κατεπάλεσας ἀνδρειοτάτως, καὶ ἐτραυμάτισας καὶ τελείως ἔτρεψας,

ὅθεν ἔτυχες ἐκ ζωηφόρου δεξιᾶς ἔνδοξε, τῶν ἀφθάρτων γερῶν σὺν τοῖς ἀπ᾽ αἰῶνος Λουκᾶ πάνσοφε.

*Θεοτοκίον.*

Μέγα τεῖχος καὶ καταφυγήν σε, σκέπην καὶ ἀντίληψιν, οἱ τῶν Ὁσίων δῆμοι περιφέροντες τὴν σὴν πρεσβείαν θεογεννήτρια, τὴν τοῦ βίου θάλασσαν ἀβρόχως, ὅθεν καὶ εἰς λιμένα ζωῆς ὥρμησαν εὐσταλῶς, μεθ᾽ ὧν καὶ ἡμᾶς σῶσον δεόμεθα.

*ᾨδὴ ζ΄. Ἄφραστον θαῦμα.*

Ῥώμῃ τῇ θείᾳ τοῦ Παρακλήτου ῥωννύμενος, φοβερὸς μὲν ἦσθα τοῖς ἐχθροῖς φλέγων ταῖς εὐχαῖς καὶ ἀποδιώκων αὐτούς, πιστοῖς δὲ πᾶσι μειλίχιος, ἡδύς τε μοναζόντων Λουκᾶ, τὸ κλέος παντοίων.

Ἵνα τὸ ἄνθος τῶν ἀρετῶν τὴν εὐπάθειαν ἐν καρδίᾳ κτίζῃ, τὸν ζυγὸν στέργεις τὸν τοῦ Χριστοῦ, πᾶσαν λειτουργίαν τελῶν καὶ καθυπείκων τῷ σὲ παιδοτριβοῦντι μονοτρόπῳ καὶ θείῳ Ναζωραίῳ.

Τῷ κορυφαίῳ τῶν Ἀποστόλων πειθόμενος, τὰ ἐπὶ γῆς μέλη προφανῶς, ἅπαντα σπουδῇ, Πάτερ ἀπενέκρωσας, καὶ μετὰ Ἀγγέλων, ἀνύμνεις τὸν Δεσπότην, ἀπαθείας στολῇ λελαμπρυσμένος.

*Θεοτοκίον.*

Ἰκρίῳ χεῖρας ἀφ᾽ οὗ σαρκὶ διεπέτασεν ὁ υἱός σου Κόρη, καὶ Θεός, ἥλκυσε πιστούς, ἅπαντας πρὸς γνῶσιν Αὐτοῦ καὶ σωτηρίαν. Διὸ κἀμὲ προσπίπτω, τῆς μελλούσης ἐξάρπασον γεέννης.

*ᾨδὴ η΄. Ἔκστηθι φρίττων οὐρανέ.*

Σύντονον οἶμον εὑρηκως, τὸν ἀδιάλειπτον τῆς καρδίας συντριμμόν, οὐ μόνον λόγοις τε καὶ σχήμασιν, ἀλλὰ καὶ ἔργοις αὐτοῖς, οὐκ ἔλειπες ἔνδοξε, πᾶσιν ἐπίσης εἰς γῆν ὠθῶν τὴν κάραν μονασταῖς καὶ μιγάσι γέρουσι, νηπίοις ἐφήβοις καὶ πρεσβύταις.

Ἔργοις ἐξέλαμψας, ἐσθλοῖς, δι᾽ ὧν ἐδόξασας καὶ δοξάζεις ἐσαεὶ πατέρα Λουκᾶ τὸν οὐράνιον, ὅθεν ἀξίως Αὐτοῦ ἐδόξασεν ἐν γῇ τε καὶ οὐρανῷ σε, διὸ μὴ παύσῃ Πάτερ ἐκτενῶς ἱκετεύειν, ὅπως τῆς ἐκεῖθεν ἐπιτύχωμεν δόξης.

Ἄγε δὴ πάντες, τὴν λαμπρὰν τῆς μεταστάσεως νῦν ἡμέραν ἀδελφοί, σπουδαίως καὶ πιστῶς τελέσωμεν, Λουκᾶ τοῦ θείου Πατρός, Χριστὸν ὑμνήσωμεν βοῶντες· αὐτοῦ πρεσβείαις πάντας τῆς ἀῤῥήτου σου δόξης ποίησον μετόχους ἡμᾶς εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ὄρεξον χεῖρα δυσωπῶ, τῇ ἀσθενείᾳ μου καὶ τῆς κλίνης τῶν παθῶν, ὡς Μήτηρ τοῦ τὰς νόσους ἄραντος ἀνθρώπων Ἄχραντε, τάχυνον ἀνάστησον, ἵνα τὴν τρίβον Αὐτοῦ τῶν προσταγμάτων πορευόμενος μέλπω τὰ σὰς δυναστείας εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Ξενίας δεσποτικῆς.*

Σοὶ ἀπὸ δόξης εἰς δόξαν διαβατήριον ὤφθη, τοῦ σώματος ἡ λύσις, καὶ γὰρ ἐν γῇ παρών, οἶκος θεῖος ἐχρημάτιζες, πολλῷ δὲ πλέον ἄρτ8ι παρελθόντων τῶν τύπων, τῇ ἀληθείᾳ σου.

Ἱκέτευε ἀπαύστως, ὡς παῤῥησίαν πλουτήσας τῷ Ἀγαθῷ Δεσπότῃ, Λουκᾶ μακάριε, ὅπως ἐγκλημάτων ἄφεσιν λαβόμενοι, πίστει τιμῶμεν τὴν αἰσίαν ἡμέραν τῆς ἐκδημίας σου.

Ὡς ἐν σαρκὶ περιόντα καὶ μετὰ πότμον ὁρῶμεν, οἱ τῆς ψυχωφελοῦς σου καταπολαύσαντες βοηθείας, ὦ Πατέρων ἀκρότης, καὶ βοῶμεν ἐν πόθῳ πάντες· μὴ ἐλλίπῃς πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

*Θεοτοκίον.*

Ὑμνοῦμεν Θεοτόκε, καὶ μακαρίζομεν πάντες, οἱ διὰ σοῦ σωθέντες κατὰ τὸ ῥῆμά σου καὶ διὰ παντὸς σοὶ βοῶμεν· ταῖς πρὸς τὸν Υἱόν σου πρεσβείαις, δεξιοὺς παραστάτας ἡμᾶς ἀνάδειξον.

# 04

# Κανὼν παρακλητικὸς εἰς τὸν Ἅγιον Λουκᾶν

οὗ ἡ ἀκροστιχίς: *Μέλη προσῆξα τῷ νέῳ Λουκα νέα Γρηγορίς.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Μετὰ Ἀγγέλων παρεστὼς ἀοίδιμε, τῶν ἐπὶ πάντων Θεῷ καὶ σὺν αὐτοῖς ὕμνον μέλπων, τὸν τρισάγιον, πρὸς ὕμνους ἐφορμῶντά με τοῦ ἐνθέου σου βίου, ταῖς ἱκεσίας χαρίτωσον, λόγον βραβεύων ἐπάξιον.

Ἐκ μητρικῆς Πάτερ νηδύος γέγονας δοχεῖον ἔντιμον, καὶ καθαρὸν ὄντως, τοῦ Ἁγίου Πνεύματος, ὑφ᾽ οὗ καὶ δυναμούμενος, πονηρίας πνευμάτων τὰς πανουργίας διέλυσας, ἀγαθοεργίαις προσκείμενος.

Λόγων ἀμέτοχος Λουκᾶ γεγένησαι τῶν ἔξω καὶ καθ᾽ ἡμᾶς, ἀλλὰ σοφὸς ἔργοις θείοις ἐχρημάτισας, φόβῳ Θεοῦ Μακάριε, ὡς ἀρχὴν τῆς σοφίας ἀρχῆθεν ἐνστερνισάμενος, ὅθεν θεαρέστως ἐβίωσας.

*Θεοτοκίον.*

Ἡ σὴ Προμήτωρ εἰς τὸν κόσμον θάνατον, τη παραβάσει το πρὶν τῆς ἐντολῆς, Νύμφη ἤγαγεν ἀνύμφευτε. Σὺ δὲ ζωήν, ἀΐδιον τὸν Χριστὸν τετοκυῖα θανάτου κράτος κατήργησας, κόσμου ἀφθαρσιαν πηγάσασα.

*ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Προφητικῶς τοῖς μετὰ σοῦ τὰς τῶν βαρβάρων ἐφόδους προεδήλους, ἀξιάγαστε Πάτερ, οὐκ ὀλίγους τῆς αὐτῶν ῥυόμενος κακώσεως, ἥν τῶν πταισμάτων πλῆθος τούτων ἐνδίκως κατέκρινεν.

Ῥώμῃ τῶν θείων σου εὐχῶν, ἐκλελοιπότα παμμάκαρ, ὑπὸ νόσου χαλεπῆς νεανίσκον ἐῤῥώμενον τῷ Πατρὶ ἀπέδωκας, δοξάζοντι τὸν τὴν χάριν ἰαμάτων, σοὶ δεδοκότα Θεὸν ἡμῶν,

Ὁ τῇ σκηνῇ σου ὑπελθών, καὶ τὴν κλοπὴν εἰργασάμενος ἀρνησάμενος τε ταύτην κακοῦργος ἐπιτίμιον αὐτῆς Λουκᾶ, ὑπέσχε θάνατον, Θεοῦ δικαίᾳ κρίσει, τὴν μοχθηρίαν κολάζοντος.

*Θεοτοκίον.*

Σὲ Θεοτόκον εὐσεβῶς ὁμολογοῦμεν Παρθένε, ὡς Θεὸν ἀδιαφθόρως τεκοῦσαν σαρκωθέντα δι' ἡμᾶς, ἐκ τῶν ἁγνῶν αἱμάτων σου, μεθ' οὗ σὲ εὐλογοῦμεν, εὐλογημένη πανάμωμε.

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς.*

Ἡ πρὸ Θεοῦ σοὶ διδόμενη πανόλβιε θεία χάρις, πᾶσι τοῖς προστρέχουσι τὴν τῶν λυπούντων ἀπαλαγήν, θᾶττον προεξένει χαρᾶς τε πλήρεις ἐξέπεμπε, τοὺς πρὶν ἀνιωμένους τῷ Σωτῆρι βοῶντας· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ξυλοφορῶν, ὑδροφορῶν τε πανόλβιε, καὶ τὴν ἄλλην πᾶσαν ὑπερχόμενος ὑπηρεσίαν, τὴν τοῦ πατρός, ἐπὶ δέκα ἔτη τοῦ κατὰ Πνεύμα ἐδείκνυσο, αὐτόν τε θεραπεύων ταπεινώσει καρδίας, ὡς υἱὸς ἀληθῶς γνησιώτατος.

Ἀναχωρῶν πρὸς τὰς ἐρήμους θεσπέσιε, ἡσυχίας πόθῳ καὶ ἀσκήσεως, συντονωτάτης, καὶ τῷ Θεῷ Λουκᾶ, μόνος μόνῳ προσομιλῶν τὰς τοῦ σώματος σφοδρὰς ἐπαναστάσεις, ἐξεῤῥίζους κραυγάζων· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

*Θεοτοκίον.*

Τον ἐκ Πατρὸς πρὸ τῶν αἰώνων Πανάμωμε, γεννηθέντα Υἱὸν ὁμοούσιον, Σὺ ἐπ' εσχάτων τῶν ἡμερῶν ἐν δυσὶν οὐσίαις, ἕν χρηματίσαντα πρόσωπον ἀχράντων ἀῤῥυπάρως ἀπεκύησας, Κόρη σωτηρίαν ἡμῖν χαριζόμενον.

*ᾨδῆ ε΄. Ἵνα τί με ἀπωσω.*

Ὥσπερ ἥλιος Πάτερ, τῶν θαυμάτων ἀκτῖνας ἐξέπεμπες, τοῖς παθῶν τελοῦσιν ἐν τῷ σκότει Λουκᾶ παναοίδιμε, καὶ αὐτοὺς φωτίζων ταῖς θεραπείαις, τῷ Δεσπότῃ τὴν προσήκουσαν δόξαν ἀνέπεμπες.

Νοῦν αὐτῷ προσερείσας, τῷ τῶν νοητῶν ἀκροτάτῳ πανόλβιε, νοητοὺς καθεῖλες δυσμενεῖς, καὶ εἰς τέλος κατῄσχυνας, καὶ ἀΰλων νόων ταῖς ἀστραπαῖς νῦν συχορεύων, τοὺς ὑμνοῦντάς σε πίστει περίσωζε.

Ἐξ ἀρχῆς ἄχρι τέλους Πάτερ, τὴν ἐγκράτειαν ἄκρως ἠγάπησας, τὸ δὲ κόρον πάλιν ὡς ἀρχὴν χρηματίζοντα ὕβρεως, νουνεχῶς μισήσας παθῶν ἐκράτησας θεόφρον, και Θεῷ εὐαρέστως ἐβίωσας.

*Θεοτοκίον.*

Ὡς αἰτίαν ὑμνοῦμε πάντων τῶν καλῶν σέ, Παρθένε πανύμνητε, διὰ Σοῦ ὀφρὺς γὰρ τῶν δαιμόνων ἁγνὴ καταβέβληται, καὶ ἀνθρώπων γένος κατεῤῥαγμένον ἀνωρθώθην καὶ Ἐδὲμ ἡ κλεισθεῖσα ἀνέῳκται.

*ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Λεόντων τῶν νοητῶν, Λουκᾶ τὰς μύλας συνέθλασας, ὡς ὅπλον ὑπομονήν, στεῤῥὸν χειρισάμενος, δι᾽ ἧς καὶ ἀπείληφας, τὸ τῆς νίκης στέφος τὸ ἀμάραντον ἀοίδιμε.

Ὁλοσχερῶς σεαυτῷ, τῶν ὑλικῶν κατεφρόνησας, ἐχώρισας καὶ σαρκός, παθῶν ἀξιάγαστε, ψυχῆς προνοούμενος, τῆς κυριωτέρας ὡς ἐχέφρων τε καὶ δίκαιος.

Ἀπὸ Θεοῦ ἰατρός, τῇ ἐνεγκούσῃ δεδώρησαι, καὶ θρεψαμένῃ σε γῇ, ταχύς τε καὶ ἄμισθος, πάντων τὰ νοσήματα, καὶ ποικίλας νόσους θεραπεύων παναοίδιμε.

*Θεοτοκίον.*

Κατῆλθε μέχρις ἡμῶν, ὁ πάντων Κόρη ἀνώτερος, ἐσκήνωσεν ἐν ἡμῖν, σάρκα προσλαβόμενος, δείξας Θεοτόκον σε, ὡς αὐτὸν τεκοῦσαν ὑπὲρ λόγον καὶ διάνοιαν.

*ᾨδὴ ζ΄. Θεοῦ συγκατάβασιν.*

Ἀθάνατον εὔκλειαν ἔσχηκας Πάτερ, καὶ μετὰ τέλος πρὸς Χριστὸν τὸ Θεὸν παῤῥησίαν παμμάκαρ. Παντὸς γὰρ πάθους καὶ ἀῤῥωστήματος τοὺς προσιόντας ἐν πίστει τῷ τάφῳ σου ἐλευθεροῖς, εἰς Αὐτοῦ δόξαν ἀπέραντον.

Νεκρὰς χεῖρας ἔχουσα γυνή, καὶ πόδας ἀκινησίᾳ πολλῇ καὶ δεινῇ, σὺν Υἱῷ δαιμονῶντι, τῇ σῇ προσῆλθε λάρνακι Ὅσιε, ἥν παραδόξως Λουκᾶ, ἐθεράπευσας μετὰ τοῦ παιδός, καὶ χαρᾶς ἀῤῥήτου ἔπλησας.

Ἐνθέου πληρούμενος φωτοχυσίας, ὡς παρεστὼς τῷ Χριστῷ, ταύτης μέτοχον δεῖξον, ἥνπερ συνῆξας ποίμνην σου, ἔνδοξε, τοὺς βαρεῖς λύκους ῥάβδῳ ταῖς πρεσβείαις σου, ἀποδιώκων αὐτῆς τοὺς πολεμοῦντας ἡμᾶς.

*Θεοτοκίον.*

Ἀρχὴν παναμώμητε τὴν ὑπὸ χρόνον διὰ Σοῦ δέχεται ὁ ὑπέρχρονος λόγος, σαρκὸς προσλήψει παύων ὡς

εὔσπλαγχνος, ἀῤῥήτῳ σθένει τὸν χρόνιον πόλεμον, καὶ καταράσσων Ἁγνή, τὸν παλαιὸν πτερνιστήν.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Γῆθεν Λουκᾶ πανόλβιε, πρὸς οὐράνια μέλλοντα διὰ τελευτῆς σὲ ἀνελθεῖν σκηνώματα ὁ θεῖος Γρηγόριος, περὶ τῆς σῆς ταφῆς ἐρωτῶν, ἤκουσε ῥήματα ταπεινώσεως γέμοντα, καὶ δηλοῦντα τὴν δοθεῖσάν σοι χάριν καὶ τόπον τῆς ταφῆς σου ἐν ᾧ καὶ κατετέθης.

Ῥῶσιν παρέσχες ἅπασι τοῖς νοσοῦσι ἑκάστοτε, μόνῃ τῇ νοτίδι τῆς σοροῦ σου, Ὅσιε, ἐλαίων τε χρίσμασι, καὶ ἐπικλήσει θείᾳ σου, οἱ καὶ χαρμοσύνως σὺν ἡμῖν εκβοῶσιν· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ σὴ Λουκᾶ θεσπέσιε, ἐκπεπλήρωται πρόῤῥησις, ἥνπερ πρὸς τῷ τέλει τοῖς σοῖς τέκνοις εἴρηκας, ὁ τὸπος γὰρ Ὅσιε, ἐν ᾧ καλῶς ἐβίωσας νῦν ὑπερδεδόξασται Θεοῦ προφητείᾳ τοῦ σοὶ τῆς προφητείας παρασχόντος τὴν χάριν, καὶ ποίμνην σου τὴν θείαν φυλάξαντος εἰς τέλος.

*Θεοτοκίον.*

Γνώμῃ Ἁγνὴ Πανάμωμε, τολμηρᾷ ἐξεπέσομεν πρὶν τοῦ Παραδείσου συμβουλῇ τοῦ ὄφεως, καὶ θάνατον εὕρομεν διὰ τῆς παραβάσεως, νῦν δὲ πρὸς Παράδεισον, ἀνήχθημεν ξύλῳ ζωῆς τῆς ἀθανάτου ἐντρυφῶντες Μαρία, Χριστοῦ φιλανθρωπίᾳ ὅν ἔτεκες ἀφθόρως.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ὁ ποίμνην σου ποιμένων τὴν λογικήν, φιλοθέως Λουκᾶ παμμακάριστε, πόθῳ θερμῷ, πίστει τε κινούμενος τῇ πρὸ σέ, ὡς ἀληθῶς φιλόθεον, ἔργον τὴν σεπτὴν ἀνακομιδήν, τοῦ θείου σου λειψάνου, εἰργάσατο ἐμφρόνως, ὧν καὶ καλούμενος φιλόθεος.

Ῥευστὴν λαχὼν τὴν φύσιν, νόμῳ αὐτῆς ἐλειτούργησας, οἷά περ ἀνθρώποις ἀποθανών, ἀλλὰ τὴν στολήν σου τὴν ἱεράν, ἀδιάφθορον ἔδειξας, σῶόν τε τὸ σῶμά σου τὸ σεπτόν, τοσούτους ἤδη χρόνους, οὗπερ εὐσεβροφόνως, νῦν τὴν μετάθεσιν γεραίρομεν.

Ἰσχύειν κατ᾽ ἀξίαν ὅλως οὐδείς, ἀνυμνῆσαι τὰ σὰ προτερήματα, Πάτερ Λουκᾶ, ὅπερ ἐπιστάμενος καὶ αὐτός, ὡς ἐγχωροῦν προσῇξά σοι, ἐκ ῥυπαρῶν χειλέων ᾆσμα μικρόν, ὅπως εὕρω πταισμάτων πάντων λύτρον, οὐκ ἀπειθήσας πατρικῇ ἐντολῇ.

*Θεοτοκίον.*

Σὲ πᾶσαι Θεοτόκε αἱ γενεαί, τῶν ἀνθρώπων πιστῶς μακαρίζουσιν, ὥσπερ αὐτῇ, πάλαι προεφήτευσας ἡ Θεόν, τὸν μακάριον τέξασα, καὶ τοὺς σὲ ὑμνοῦντας εἰλικρινῶς ποιοῦντας μακαρίους, καὶ δόξης ἀξιοῦντα, τῆς οὐρανίους σαῖς δεήσει.

# 05
# Κανὼν παρακλητικὸς εἰς τὸν Ἅγιον Λουκᾶν

*ᾨδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοὶ ᾄσωμεν.*

Ὑπὲρ ἡμῶν καθικετεύοντα πρόσδεξαι, τὸν Σὸν πιστὸν θεράποντα Λουκᾶν τὸν ἔνδοξον, ὁ Θεός, καὶ παράσχου τὸ ἔλεός Σου πᾶσι τοῖς ἀνυμνοῦσί Σε.

Μόνον Χριστὸν ὡς ἀγαπήσας δεδόξασται, καὶ παῤῥησίαν εὕρηκας· διὸ δεόμεθα μὴ παύσῃ τοῦ πρεσβεύειν, Αὐτῷ ὑπὲρ τῶν πίστει, Λουκᾶ τιμώντων σε.

Νόμους Χριστοῦ Πάτερ, ἀτρώτους ἐφύλαξας, οὓς καὶ ἡμᾶς πρεσβείαις σου τηρεῖν ἐνίσχυσιν, θεαρέστως βιοῦντας, καὶ σὲ δοξολογοῦντας, Λουκᾶ θεόπνευστε.

*Θεοτοκίον.*

Ἐν τῷ φωτὶ τῆς Σῆς πρεσβείας κατέφυγον, πύλη φωτὸς πανάμωμε· διὸ καταύγασον, τὴν ἀθλίαν ψυχήν μου, πολλοῖς ἀμαυρωθεῖσαν πάνθεσιν δέομαι.

*ᾨδὴ γ΄. Στερέωσον ἡμᾶς.*

Ἐν πίστει τοὺς τὴν σὴν σεπτὴν λάρνακα τιμῶντας, καὶ ταύτῃ προσερχομένους, τῶν ἐν βίῳ περιστάσεων καὶ παθῶν τε καὶ νόσων ἀπολύτρωσαι.

Φωτὸς τοῦ νοητοῦ τρυφῶν Ὅσιε, δυσώπει μετόχους ἀποδειχθῆνα καὶ ἡμᾶς, τῆς αὐτοῦ χάριτος, τοὺς τῷ θείῳ τεμένει σου προσφεύγοντας.

Ὑπόδεξαι ἡμᾶς, Λουκᾶ πάνσοφε, θερμῶς σοι προσπίπτοντας καὶ ἐκ πάσης, ἀῤῥωστίας καὶ κακώσεως, μεσιτείαις σου θείαις ἐλευθέρωσον.

*Θεοτοκίον.*

Θεράπευσον ἁγνή, τὴν ταλαίπωρον ψυχήν μου βοῶ Σοι, κεκακωμένην ἁμαρτίαις, ὡς κυήσασα τὸν τὰς νόσους βαστάσαντα τοῦ γένους ἡμῶν.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Κατανύξεως ἔμπλησον τὴν ταπεινὴν καρδίαν μου λιταῖς σου, τοῦ ἀεὶ γεραίρειν μάκαρ, τὴν χάριν σου.

Ἐπιτάχυνον Ἅγιε, καὶ ἐκ πυλῶν ἐξάρπασον τοῦ ᾅδου, τῶν ἀλλεπαλλήλων νόσων, τὸν δοῦλόν σου.

Νεκρωθέντα με πταίσμασιν, ὡς λειτουργὸς ζωῆς τῆς ἀϊδίου, Λουκᾶ θεοφόρε, δέομαι ζώωσον.

*Θεοτοκίον.*

Ὑπερένδοξε Δέσποινα, τοὺς ὑμνητὰς τοῦ τόκου Σου, μὴ παύσῃ δυσχερῶν τοῦ βίου, διαφυλάττουσα.

*ᾨδὴ ε΄. Ὁ φωτισμὸς τῶν ἐν σκότει.*

Ὑπὸ σφοδρῶν ἀλγηδόνων καὶ πόνων συνεχομένους, καὶ ἐν τῷ λιμένι τῆς σῆς πρεσβείας, καταφεύγοντας τοὺς ἱκέτας σου Πάτερ, θεραπείας τῆς σῆς ἀξίωσον· ἔχεις ἐκ Θεοῦ γὰρ ἀξίως τὸ δύνασθαι.

Κατὰ παθῶν ἀριστεύσας ἐν βίῳ, χάριν ἐδέξω, πάθη θεραπεύειν τῶν ἀσθενούντων· διὸ τοὺς πίστει σε καλοῦντας προφθάνεις ῥῶσιν θείαν βραβεύων Ἅγιε, καὶ διασκεδάζων παντοῖα νοσήματα.

Τῷ ἐν νυκτὶ τῶν παθῶν καθεστῶτι τῶν ψυχοφθόρων, αὔγασον ἀκτῖνά μοι τῆς σῆς πρεσβείας, ἵνα ὀρθρίζων ἀνυμνῶ καὶ δοξάζω ἐν φωτί σε τῆς σωτηρίας μου, κλέος μοναζόντων, Λουκᾶ ἀξιάγαστε.

*Θεοτοκίον.*

Μῆτερ Θεοῦ τῆς ψυχῆς μου κινήσεις, πρὸς Ὃν ἀῤῥήτως ἔτεκες κατεύθυνον δέομαί Σου, καὶ τῆς παρούσης ἐξελοῦ προσπαθείας τῶν γηΐνων, καὶ καταξίωσον παραστάτην γενέσθαι με.

*ᾨδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.*

Ἰατρεῖον πλουτήσαντες ἄμισθον, τὴν σεπτὴν πρεσβείαν σου, Λουκᾶ πανόλβιε, πάντες πιστῶς προστρέχομεν, καὶ τὴν σὴν ἐξαιτοῦμεν βοήθειαν.

Κακουμένων ψυχῶν ὑπεράσπισαι, καὶ τῶνς υνεχόντων παθῶν λύσιν δώρησαι· ὅσα γὰρ θέλεις δύνασαι, τοῦ Χριστοῦ καὶ Θεοῦ σὲ δοξάσαντος.

Οἱ κρουνοὶ τῶν τιμίων λειψάνων σου, πᾶσιν ἀκεσώδυνα γένοιτο φάρμακα, τοῖς ἀνιάτως κάμνουσι, καὶ πονηρῶς τοῦ σώματος ἔχουσιν.

*Θεοτοκίον.*

Ἰωμένη τὰ τραύματα πρόφθασον, καὶ τὰς ἀσθενείας πανάμωμε Δέσποινα, καὶ τῆς ψυχῆς καὶ σώματος, τοῦ ἱκέτου Σου ἵνα δοξάζω Σε.

*ᾨδὴ ζ΄. Εἰκονος χρυσῆς.*

Σωτῆρα παθῶν ἐγνωκότες ἐκ Θεοῦ, νεοφανῆ σε, παρακαλοῦμεν τοῦ δωρήσασθαι, τῆς συμπαθείας τὸ

πέλαγος, τοῖς ἐταζομένοις ἐν νόσοις, καὶ Χριστῷ ἀναμέλπουσιν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Μακάριος εὖ συμπτωχεύσας τῷ Χριστῷ, καὶ συμμετέχων Αὐτοῦ τῆς δόξης νῦν τῆς κρείττονος, καὶ Βασιλείας μακάριε· ἧσπερ καὶ ἡμᾶς ταῖς εὐχαῖς σου καταξίωσον ψάλλοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Οἱ πάθει δεινῷ χειμαζόμενοι σοφδρῶς, δεῦτε προθύμως, μύρα εὐώδη προχεόμενα, ποταμηδὸν ἐκ τῆς λάρνακος τοῦ σημειοφόρου ποιμένος, ἀπαντλῆσαι κραυγάζοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ὁ νώτοις ἁγνὴ Χερουβίμ, οἷα Θεὸς προσεφιζάνων, τὴν Σὴν ἁγίαν μήτραν ᾤκησεν, Αὐτὸν ἀπαύστως ἱκέτευε πάσης συμφορᾶς, λυτρωθῆναι τοὺς πιστῶς Σοι κραυγάζοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

*Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.*

Ἰατρὸς δέδοσαι ἡμῖν ἐκ Θεοῦ, τῶν ψυχικῶν ἀῤῥωστημάτων, καὶ σαρκὸς νοσημάτων τοῖς ταπεινοῖς καὶ πτωχοῖς· διό σου δεόμεθα, λύτρωσαι τῆς νῦν κατεχούσης συμφορᾶς τοὺς σοὺς δούλους.

Τοὺς διὰ βίου τῷ πυρὶ των ποικίλων πειρασμῶν φλογιζομένους καὶ δεινῶς καυσομένους, συγκαταβάσει τῆς σῆς παμμάκαρ, συμπαθείας δρόσισον, ἵνα σὲ ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὡς παῤῥησίαν πρὸς Χριστόν, Ὃν ἐπόθησας εὑρὼν ἔνδοξε Πάτερ, μνημονεύων μὴ παύσῃ τῶν μεμνημένων τῆς σῆς πρεσβείας, καὶ ἐν τῷ τεμένει σου πίστει προσιόντων, καὶ σὲ δοξολογούντων.

*Θεοτοκίον.*

Θεόνυμφε Κόρη ἁγνή, ἡ τὸν Ποιητὴν τοῦ παντός, ἀναμαρτήτως κυήσασα, φώτισον τὰς καρδίας καὶ τὸν νοῦν τῶν Θεὸν μὲν ὁμολογούντων Αὐτὸν καὶ Κύριον, κλυδωνιζομένων δὲ ἁμαρτίαις ἐν τῷ πελάγει τοῦ βίου.

*ᾨδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν λόγον.*

Τῇ ἀπροσίτῳ Τριάδι παρεστὼς στεφηφόρε, καὶ ταῖς ἐκεῖθεν λάμψεσιν ἀεί, ὡς ἐφικτὸν ἐλλαμπόμενος, τοῖς ἐν σκότει τελοῦσι, τῶν ἀνηκέστων νόσων καὶ παθῶν, εὐρωστίας παράσχου φάος τὸ γαληνότατον.

Αἱ συνεχεῖς ἀλγηδόνες τῶν σεπτῶν σου καὶ θείων ἀγώνων, καὶ καμάτων ἱερῶν, ἴαμα θεῖον γεγόνασι τοῖς καταπονουμένοις ἀνείκαστα ὑπὸ ποικίλων νόσων, μεγαλώνυμε Πάτερ Λουκᾶ θεομακάριστε.

Ἀπὸ παθῶν τε καὶ νόσων, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως, ἡμᾶς ὡς συμπαθὴς καὶ φιλόστοργος, καὶ ὡς ποιμὴν καὶ προστάτης, ταῖς εὐπροσδέκτοις θείαις σου λιταῖς, Λουκᾶ φωστὴρ λύτρωσιν, ἑσπερίων τῶν ἀσκητῶν ἀγλάϊσμα.

*Θεοτοκίον.*

Ὕμνον ἀνάγνων χειλέων εὐμενῶς, ὦ Παρθένε προσδέχου, καὶ πταισμάτων χαλεπῶν ῥῦσαί με Κόρη πανάμωμε· μητρικὴ γὰρ πρεσβεία, τὸ δύνασθαι κεκλήρωσαι· διὸ τοὺς πιστῶς, Σὲ ὑμνοῦντας διάσωζε πανύμνητε.